ἐπιθυμίας συμπέπτωκε, ἐλπὶς δὲ καὶ περὶ τῶν λάγνων
καὶ ἀκολάστων σωμάτων, ἐπεὶ πολλὰ τῶν ἤδη ἐρωτευθη-
σάντων σωμάτων, τοσοῦτον εἰς σωφροσύνην ἐπιδέδωκεν,
ὡς μηδὲ σημεῖα τῆς παλαιᾶς ἀκολασίας ἔχειν, ὡς διὰ
βελτίωσιν καὶ ἐπίδοσιν πλείονα, πάσης ῥυτίδος καὶ σπί-
λου τοῦ παλαιοῦ ἀπολελοῦσθαι. ὅταν οὖν λέγῃ τὸ εὐαγγέλι-
„ ον· ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν
„ βασιλείαν τῶν οὐρανῶν. ὅταν λέγῃ Παῦλος. πίστει Ῥα-
„ ὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι. ποίας
οὐσίας ἦν τὰ σώματα ἢ φύσεως; εἰ μὲν γὰρ τῆς ἀ-
γαθῆς, πῶς ἐξεπόρνευσε; εἰ δὲ τῆς φαύλης πῶς ἐσω-
φρόνησεν; εἰ δὲ ἐκ ἐπιθυμίας ἐπὶ σωφροσύνην μετέστη, καὶ
ποτὲ μὲν ἦν ἐπιθυμία, ποτὲ δὲ ἐσωφρόνησε, καὶ ἠδυνήθη
ἐπιθυμεῖν, καὶ ἠδυνήθη σωφρονεῖν, καὶ μαρτυροῦσιν αἱ με-
ταβολαί. λέλυται ἡ φύσις. ὤφθη ἡ προαίρεσις. καὶ
οὐκ ἔστι τὸ σῶμα οὐσιῶδες κακὸν, μᾶλλον δὲ ὑπηρετοῦν τῇ
προαιρέσει, καὶ δοῦλον προαιρέσεως, οὐ φύσεως ὑπάρχον
καὶ τοῦτο ἐσόμενον, ὅπερ ἡ προαίρεσις ἀποδίδωσιν. ὅταν
γὰρ γνώμη μαθήματα παραλαβοῦσα εἰς ἔρωτα τῶν
μαθημάτων ἔλθῃ, τότε καὶ τὸ σῶμα τῶν ἐρεθιστικῶν κι-
νημάτων ἀπολελυμένον εὐσταθείαν τιμᾷ καὶ τῇ τῶν
πράξεων ὑπηρεσίᾳ οὐ μάχεται. ὅταν δὲ ἀμελετησίας
καὶ χαυνότητος ἐρεθιζούσης τὴν διάνοιαν, οἷον ἔκλυσις
καὶ χαυνότης γένηται τῆς γνώμης, τότε τῷ σώματι
τὸ πάθος ἐπιγράφεται, καὶ φαίνεται μεθόριον ἑκατέρου,
οὐδὲν ἕτερον ὄν. καὶ ἀληθὲς ἐστὶ τὸ γεγραμμένον. ἰδοὺ
ἔθηκα ἐνώπιόν σου τὸν θάνατον, καὶ τὴν ζωήν. ἔκλεξαι,
ὃ θέλεις. ἵνα τὴν αἵρεσιν λαβὼν ὁ πράττων δικαίαν,
καὶ τὴν κρίσιν ἀπαιτῆται, καὶ μὴ πρός τι βεβιασμένος
ἀπολογίαν τὴν βίαν καὶ τὴν ἀνάγκην τῶν : πραγμά-
των

: ἔξωθεν πεπραγμένων

http://digital.slub-dresden.de/ppn345405943/19